721 Ὀσφραντικόν· ὀσφραντικὸν αἰσθητήριόν ἐστιν ἡ κατὰ τὰ ἐμ- Phil.
πρόσθια τοῦ ἐγκεφάλου μαστοειδὴς ἀπόφυσις μετὰ τὰ ὁμοιοειδῆ ὀστέα
ὡς ἐπὶ τὸ ἔνδον. γίνεται δὲ ἡ ἀντίληψις τῶν ὀσμῶν διὰ τῆς διόσμου
τοῦ ἀέρος δυνάμεως. καὶ γὰρ δίοσμός ἐστιν ἡ διαπορθμευτικὴ δύναμις Suid.
τῶν ὀσφραντῶν παρὰ Θεοφράστῳ, οὐκ ἔστι δὲ ἡ ῥὶς τὸ αἰσθητήριον, ἀλλ' ἡ
μαστοειδὴς τοῦ ἐγκεφάλου ἀπόφυσις ἢ ἀπόθεσις. κατέκειτ' ὀσφραινόμενος. Ar.
οἱ γὰρ ὑπὸ φόβου ἐκλυόμενοι ὀσφρήσει τὸν πόνον παύουσιν· ὁ δὲ
πόνος αὐτοῖς ἐκ καρδίας γίνεται.

722 Ὀσφραίνομαι· γενικῇ. Synt.

723 Ὀσφύς. Suid.

724 Ὄσχεος: ὁ περὶ τὰ αἰδοῖα τόπος.

725 Ὀσχοφόροι: δύο ἦσαν τῶν γένει καὶ πλούτῳ προεχόντων. ἡ Harp.
δὲ ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δ' ἔνιοι ὀρε-
σχάδα καλοῦσιν.

726 Ὄττα: φήμη, μαντεία, θεία κληδών. καὶ ὀττεύεσθαι, τὸ μαν- Σ
τεύεσθαι. ὁ δὲ τὸ μέλλον ἐμφρόνως ὀττευσάμενος εἰς ἔννοιαν E
ἦλθε τὴν φρουρὰν ἀποτρίψασθαι τὴν παρὰ Πτολεμαίου.

727 Ὅτ' ἄν σε καιρὸς εἰσάγῃ: ὅταν σε καιρὸς καλῇ. Soph.

728 Ὅταν σύ που ἄλλοσε χάσκῃς: ἀντὶ τοῦ περὶ ἄλλα τὴν Ar.
διάνοιαν ἔχῃς.

729 Ὁτέοισιν: οἷς τισιν. Δ

730 Ὀττευομένη: κληδονιζομένη, οἰωνιζομένη, μαντευομένη. ἐξ Ar.
αὐτῆς δὲ τῆς τῶν πρέσβεων ἐμφάσεως ὀττευόμενοι εἰς παντοδαπὰς E
οἰμωγὰς καὶ θρήνους ἐνέπιπτον. ἤτοι τὸ ὀρνεοσκοποῦντες.

731 Ὀττευσάμενος: οἰωνισάμενος, μαντευσάμενος.

732 Ὀττεία: ἡ μαντεία. Δ

733 Ὁτίη τί: ἀντὶ τοῦ διατί. τὸ δὲ τί περιττόν. Ἀριστοφάνης Ar.
Νεφέλαις. ζήτει τὴν διότι πρὸς τὸ ὅτι ἐν τῷ διότι.